βασιλεῖ ἅπαντα τὰ γινόμενα. ὁ δὲ κροῖσος ἀκούσας, ἐταράχθη. καὶ ἐβουλεύσατο πρὸς ὑπόδειγμα τῶν ἄλλων τὴν σάμον κατασκάψαι. ὁ δὲ ἀποκρισιάριος ἔφη ὦ βασιλεῦ, οὐ δύνασαι δέσποτα σαμίοις ὑποτάξαι τοῦ αἰσώπου αὐτοῖς γνώμας διδόντος. δύνασαι οὖν δόλῳ πέμψαι πρεσβύτας καὶ αἰτῆσαι παρ' αὐτῶν τὸν αἴσωπον δέσμιον, ὑποσχόμενος ἀντ' αὐτοῦ χάριτας δοῦναι καὶ φόρους μὴ λαβεῖν, καὶ ἴσως τότε δυνήσῃ ἐγκρατὴς αὐτῶν γενέσθαι. ὁ δὲ κροῖσος ἀρεσθεὶς τοῦ σκοποῦ, ἕνα τῶν ἀρχόντων ἔστειλεν εἰς τὴν σάμον. ὁ δὲ παραγενόμενος καὶ ἐκκλησίαν συναγαγὼν ἔπειθε τοὺς σαμίους ἔκδοτον δοῦναι τὸν αἴσωπον. ὁ δὲ αἴσωπος εἰς μέσον ἐλθὼν, καὶ σιγὴν αἰτήσας ἔφη· ἄνδρες σάμιοι, κἀμοὶ πόθος ἐστὶ παρὰ τοὺς πόδας τοῦ βασιλέως γενέσθαι. θέλω δὲ λό-

γον